**Σύλλογος**

**Αρχαίας Ελληνικής Φιλοσοφίας**

***σὺν Ἀθηνᾷ***

# “Η αυτοχειρία στην αρχαία Ελλάδα: Γνώμες των φιλοσόφων”

Κυριακή, 16 Δεκεμβρίου 2012

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΣΩΚΡΑΤΗΣ
ἄπειμι δέ, ὡς ἔοικε, τήμερον· κελεύουσι γὰρ ᾿Αθηναῖοι.

«Φεύγω κατά πως φαίνεται σήμερα. Το προστάζουν αυτό οι Αθηναίοι.»

.............

᾿Εθελήσει τοίνυν καὶ Εὔηνος καὶ πᾶς ὅτῳ ἀξίως τούτου τοῦ πράγματος μέτεστιν. οὐ μέντοι ἴσως βιάσεται αὑτόν· οὐ γάρ φασι θεμιτὸν εἶναι.

«ίσως θελήσει και ο Εύηνος [φιλόσοφος] και όποιος επάξια ενδιαφέρεται γι αυτά τα πράγματα να ακολουθήσει. Όμως δεν θα αυτοκτονήσει, διότι λέγεται ότι αυτό δεν είναι επιτρεπτό»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΚΕΒΗΣ (μαθητής του Σωκράτη)

Πῶς τοῦτο λέγεις, ὦ Σώκρατες, τὸ μὴ θεμιτὸν εἶναι ἑαυτὸν βιάζεσθαι, ἐθέλειν δ᾽ ἂν τῷ ἀποθνῄσκοντι τὸν φιλόσοφον ἕπεσθαι;

«πως λες Σωκράτη ότι δεν είναι θεμιτό να αυτοκτονεί ο φιλόσοφος, μολονότι είναι αναμενόμενο να επιθυμεί να ακολουθήσει αυτούς που πεθαίνουν;»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΣΩΚΡΑΤΗΣ

Τί δέ, ὦ Κέβης; οὐκ ἀκηκόατε σύ τε καὶ Σιμμίας περὶ τῶν τοιούτων Φιλολάῳ συγγεγονότες;

«Μα δεν ακούσατε Κέβη, εσύ και ο Σιμμίας, για αυτό το θέμα όσο μαθητεύσατε κοντά στον Φιλόλαο; [Πυθαγόρειος φιλόσοφος]»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΚΕΒΗΣ

Οὐδέν γε σαφές, ὦ Σώκρατες.

«Τίποτα που να είναι ξεκάθαρο, Σωκράτη.»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΣΩΚΡΑΤΗΣ

ὁ μὲν οὖν ἐν ἀπορρήτοις λεγόμενος περὶ αὐτῶν λόγος, ὡς ἔν τινι φρουρᾷ ἐσμεν οἱ ἄνθρωποι καὶ οὐ δεῖ δὴ ἑαυτὸν ἐκ ταύτης λύειν οὐδ᾽ ἀποδιδράσκειν, μέγας τέ τίς μοι φαίνεται καὶ οὐ ῥᾴδιος διιδεῖν·

«Η μυστική διδασκαλία (των Πυθαγορείων) για αυτά τα θέματα, ότι εμείς οι άνθρωποι είμαστε σε μια μορφή φυλακής και δεν πρέπει να απελευθερωνόμαστε ή να ξεφεύγουμε, μου φαίνεται κάπως βαριά και δυσνόητη»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΣΩΚΡΑΤΗΣ

οὐ μέντοι ἀλλὰ τόδε γέ μοι δοκεῖ, ὦ Κέβης, εὖ λέγεσθαι, τὸ θεοὺς εἶναι ἡμῶν τοὺς ἐπιμελουμένους καὶ ἡμᾶς τοὺς ἀνθρώπους ἓν τῶν κτημάτων τοῖς θεοῖς εἶναι.

«Αλλά νομίζω, Κεβη, ότι αυτό είναι σωστό, πως οι θεοί είναι υπεύθυνοι για την φύλαξή μας και εμείς οι άνθρωποι είμαστε μέρος της περιουσίας των θεών»

# ΠΛΑΤΩΝΙΚΟΣ ΔΙΑΛΟΓΟΣ *ΦΑΙΔΩΝ* 61D-62C

ΣΩΚΡΑΤΗΣ

Ἴσως τοίνυν ταύτῃ οὐκ ἄλογον μὴ πρότερον αὑτὸν ἀποκτεινύναι δεῖν, πρὶν ἀνάγκην τινὰ θεὸς ἐπιπέμψῃ, ὥσπερ καὶ τὴν νῦν ἡμῖν παροῦσαν.

«Άρα από αυτή την άποψη είναι λογικό να μην πρέπει κανείς να σκοτώσει τον εαυτό του, πριν στείλει ο θεός κάποια ανάγκη, όπως είναι τώρα για μένα η παρούσα»

[ο διάλογος *Φαίδων* μας δίνει τις τελευταίες ώρες του Σωκράτη πριν την καταδίκη του]

# Αριστοτελησ, *Ηθικα Νικομαχεια* 1138α.4-23

Πότερον δ᾽ ἐνδέχεται ἑαυτὸν ἀδικεῖν ἢ οὔ, φανερὸν ἐκ τῶν εἰρημένων. τὰ μὲν γάρ ἐστι τῶν δικαίων τὰ κατὰ πᾶσαν ἀρετὴν ὑπὸ τοῦ νόμου τεταγμένα, οἷον οὐ κελεύει ἀποκτιννύναι ἑαυτὸν ὁ νόμος, ἃ δὲ μὴ κελεύει, ἀπαγορεύει.

«Είναι λοιπόν δυνάτο ένας άνθρωπος να αδικήσει τον εαυτό του; Έγινε αυτό φανερό από όσα είπαμε. Μία κατηγορία δίκαιων πράξεων αφορά εκείνα που γίνονται σύμφωνα με την αρετή όπως ορίζει ο νόμος. Για παράδειγμα νόμος δεν προστάζει την αυτοκτονία και όσα δεν προστάζει, τα απαγορεύει»

# Αριστοτελης, *Ηθικα Νικομαχεια* 1138a.4-23

ἔτι ὅταν παρὰ τὸν νόμον βλάπτῃ μὴ ἀντιβλάπτων ἑκών, ἀδικεῖ, [...] ὁ δὲ δι᾽ ὀργὴν ἑαυτὸν σφάττων ἑκὼν τοῦτο δρᾷ παρὰ τὸν ὀρθὸν λόγον, ὃ οὐκ ἐᾷ ὁ νόμος· ἀδικεῖ ἄρα. ἀλλὰ τίνα; ἢ τὴν πόλιν, αὑτὸν δ᾽ οὔ. [...]

«όταν προκαλεί κανείς βλάβη εκούσια και όχι ως ανταπόδοση διαπράττει αδίκημα [...] Αυτός που σκοτώνει τον εαυτό του σε στιγμή θυμού προξενεί εκούσια βλάβη που έρχεται σε αντίθεση με τον ορθό λόγο, το οποίο δεν το επιτρέπει ο νόμος. Διαπράττει λοιπόν αδίκημα, αλλά εναντίον τίνος; Εναντίον της πόλης και όχι εναντίον του εαυτού του.»

# Αριστοτελης, *Ηθικα Νικομαχεια* 1138α.4-23

διὸ καὶ ἡ πόλις ζημιοῖ, καί τις ἀτιμία πρόσεστι τῷ ἑαυτὸν διαφθείραντι ὡς τὴν πόλιν ἀδικοῦντι.

«Γι αυτό και η πόλη είναι που επιβάλει την ποινή, στερώντας τις συνηθισμένες τιμές σε αυτόν που αυτοκτονεί, ως αδικήσαντα την πόλη.»

# Πλατων, *Νομοι* IX 854b.8-c.5

[συμβουλεύει κάποιον τί να κάνει όταν δημιουργείται μέσα του μία εγκληματική επιθυμία]

ἴθι ἐπὶ τὰς ἀποδιοπομπήσεις, ἴθι ἐπὶ θεῶν ἀποτροπαίων ἱερὰ ἱκέτης, ἴθι ἐπὶ τὰς τῶν λεγομένων ἀνδρῶν ὑμῖν ἀγ αθῶν συνουσίας, καὶ τὰ μὲν ἄκουε, [...] ὡς δεῖ τὰ καλὰ κ αὶ τὰδίκαια πάντα ἄνδρα τιμᾶν·

«να πηγαίνεις στις αποδιοπομπήσεις (εξιλαστήριες θυσίες που αποτρέπουν επικείμενα κακά), να πηγαίνεις στα ιερά θεών που αποτρέπουν συμφορές ως ικέτης, να πηγαίνεις στις συναντήσεις των ανθρώπων που λέγονται αγαθοί και να ακούς αυτά που λένε, ότι πρέπει κάθε άνθρωπος να τιμά τα καλά και δίκαια πράγματα»

# Πλατων, *Νομοι* IX 854b.8-c.5

[συμβουλεύει κάποιον τί να κάνει όταν δημιουργείται μέσα του μία εγκληματική επιθυμία]

τὰς δὲ τῶν κακῶν συνουσίας φεῦγε ἀμεταστρεπτί.
καὶ ἐὰν μέν σοι δρῶντι ταῦτα λωφᾷ τι τὸ νόσημα· εἰ δὲ
μή, καλλίω θάνατον σκεψάμενος ἀπαλλάττου τοῦ βίου.

«να αποφεύγεις αμετάστρεπτα τη συναναστροφή με όσους κάνουν εγκληματικές πράξεις. Και αν κάνοντας αυτά υποχωρήσει το νόσημα έχει καλώς, αν όχι καλύτερα να σκεφτείς τον θάνατο και να απαλλαγείς από την ζωή»